τε παρὰ τῶν ἐν Οὐγγροβλαχίᾳ καὶ Μολδοβλαχίᾳ ἡγεμονεύειν λαβόντων καὶ εἰς ὑπουργίαν παραλαμβάνεσθαι ἵν' οὕτως . . . . . καὶ οἱ μετ' αὐτοὺς τὴν διδασκαλίαν διαδεξόμενοι ἐπιμελέστερον καὶ φιλοτιμότερον ἔχωσι περὶ τὴν παράδοσιν. Τῆς δὲ καταρτίσεως τῶν ἠθῶν καὶ εὐταξίας τῆς Σχολῆς (ἐπιμελείσθωσαν) ἐκ παντὸς τρόπου οἱ ἐπίτροποι διὰ τῶν διδασκάλων.

Δ'.) Ἔστωσαν δ' ὑπότροφοι μαθηταὶ δύο καὶ δέκα, τό γε (νῦν) ἔχον, τὴν ἡλικίαν μὴ πρεσβύτεροι τῶν εἰκοσιπέντε ἐτῶν, νεώτεροι τῶν δύο καὶ δέκα, οἵτινες πένητες καὶ ἄποροι ὄντες καὶ μηδαμόθεν πόρον (ζωῆς ἔχοντες, εὐφυΐαν τε καὶ ἐπιμέλειαν ἐν ἤθεσι χρηστοῖς ἐμφαίνουσι τὴν περὶ τὰ μαθήματα ἐπίδοσιν, καὶ οὕτιν ὑπὸ ἐγγυηταῖς ἀξιοπίστοις . . . . . . . τῇ Σχολῇ, μηδέποτε (ἐκτὸς αὐτῆς) γινόμενοι, ἀλλὰ νύκτωρ τε καὶ μεθ' ἡμέραν, ὅσον οἷόν τε, προσανέχοντες τοῖς μαθήμασι, μηδόλως προϊόντες τῆς Σχολῆς ἄνευ ἀδείας τοῦ διδασκάλου, μηδέ τις ἄλλος διανυκτερευέτω, μηδὲ ἐγκαθευδέτω τῇ Σχολῇ, ἀλλὰ μόνον αὐτοὶ οἱ ὑπότροφοι, ὧν τὰ τροφεῖα ἀνὰ πεντακόσια γρόσια κατ' ἔτος διδόσθω ἐπίσης ἑκάστῳ.

Ε') Ἐπειδὴ δὲ ἀνεφάνη κατάχρησις ἐν τοῖς ὑποτρόφοις μαθηταῖς καὶ πολλοὶ ἀπατήσαντες δυναμένους τινὰς, κατ' ἔλεον ἐκείνων μὴ προσηκόντων ἔλαθον παραγραφέντες τῷ καταστίχῳ παρὰ τὴν βούλησιν τῶν ἀναθεμένων καὶ ἀφιερωσάντων καὶ προτιμηθῆναι τῶν ἀξίως ἂν λαμβανόντων τὸν ἔλεον . . . . τῶν μαθητῶν πάντῃ ἀπόρων, χρηστοήθων, ἐπιμελῶν τε καὶ εὐφυῶν, καὶ ὥσπερ . . . . . τῷ Φινεῖ, οὕτω καὐτοὶ τοῖς ἀπόροις ἐκείνοις ἀφήρπασαν ἀπὸ τοῦ φάρυγγος τὴν τροφὴν. διὰ τοῦτο τοῦ λοιποῦ, ἵνα μήτε οἱ δυνάμενοι ἐνοχλῶνταί τι μήτε τοιαῦτ' ἄττα συμβαίνῃ παρὰ τὴν βούλησιν τῶν ἐλεούντων καὶ ἐλεησάντων εἰς τὴν σχολὴν, οἱ